ΓΟΥΛΙΕΛΜΟΥ KUCHENMÜLLER

# Ο ΜΑΡΑΘΩΝΟΔΡΟΜΟΣ *

## ΑΓΓΕΛΟΣ ΝΙΚΗΣ

«Προτροπάδην φεύγουσι, τί μέλλετε ; πάντ' ἀνύσωμεν.
οἴσετε πῦρ, κατακαύσατε ναῦς, ζωγρήσατε Πέρσας,
Παλλάδι συνθηρῶμεν Ἀθηνᾷ βάρβαρον ἐχθρόν !
εἷς δέ τις ἀγγεῖλαι νίκην κρατερὸς δρομοκῆρυξ
οἴκαδε τοῖς τε γέρουσι γυναιξί τε· λαμπρὰ τελούντων
θύματ' Ἀθηναίᾳ σωτήρια καὶ Διὶ πατρί·
πέπρακται μέγα ἔργον· ἐλεύθεραί εἰσιν Ἀθῆναι».
οὕτως Μιλτιάδης. ἤκουσε μεταξὺ προσορμῶν
Νικαγόρας, ἀκάτου Τυρίας γὰρ ἐφίετ' ἀφλάστου.
ἃ δεινῶς ἀπορῶν ἕστηκεν ὁ Δούριος υἱός,
ἐμπρήσας πρύμνην εἴτε κλέος εὐκτὸν ἄραιτο
ἢ πάντων πρότερος νίκην ἀγγεῖλαι Ἀθήναις.
δοιάζοντα δέ νιν δαίμων ἔμνησε γυναικὸς
Τιμάνδρας ἐσθλῆς· τόδε δ' ὕστατον εἶπ' ἀπιόντι
ἐν φιάλῃ χρυσῇ παρέχουσ' ἐξαίρετον οἶνον·
«οἶσθ' ὅτι σοι τέξω, φίλε, παῖδ' Ἐλαφηβολιῶνι ;»
ἡ μὲν τέως ὑποδεξαμένη γαμέτην ἐλελήθει,
νῦν δ' ἐρυθραινομένη ψιθυρίζει· «σῶς μοι ἀνέλθοις.»
οὐκέτ' ὀκνῶν ξίφος αὐτίκ' ἔδωκεν ὁ Δούριος υἱὸς
καὶ τελαμῶνα φίλῳ λόγχην θ' ἅμα, δείματα Μήδων,
καὶ θώρακ'· ἀπό δ' οἷ κνημῶν ὑπέλυσεν ἑταῖρος
κνημῖδος· τὸ κράνος δ', ἅτ' ἐπείγων, μὴ καθελέσθαι
τῆς κεφαλῆς ὀλίγου γ' ἔλαθεν· σκώπτει δὲ πέλας τις.
«ἦ μὴν ἥδιον ἢ ἐς Πέρσας ὁρμᾶν ἐς Ἀθήνας
εὐτράπελόν τε γυναῖκα φιλήμασιν ἀσπάζεσθαι»—
μωραίνων γ', ἐπεὶ αὐτὸς ἐπ' οἴκου ἀνῆλθ' ἀκέραιος,
Νικαγόρας δ' — εὐφήμει, μὴ κηρὸς προτερήσῃς

* Ἐδημοσιεύθη τὸ πρῶτον ἐν τῷ γνωστῷ Γερμανικῷ εἰς ἀρχαίαν Ἑλληνικὴν συντασσομένῳ περιοδικῷ «Ἀλινδήθρα» Ἰουνίου—Σεπτεμβρίου 1960 ἐπὶ τῇ εὐκαιρίᾳ τῆς ἐν Ῥώμῃ Ὀλυμπιάδος.

οἰκτροτάτης. Μαραθωνομάχους Ἄρεώς τε λελοιπὼς
αἱματόεσσαν ἄλω κρατεροῖς ποσὶ Δούριος υἱὸς
Πεντελικοὺς ἀνέβη κρημνοὺς καματηρὰ νάπη τε,
ὡς ὅτε δόρκος ὄρειος ὁδοὺς ἀβάτους τε βατά τε
ἐξειδὼς τὸ κατευθὺ τρέχει δι' ἀπείρονος ὕλης
τρυχωθεὶς δίψῃ, κρυπτὸν δ' ἐπιτεύξεται ὕδωρ,
ὡσαύτως ὁδοῦ οὔποθ' ἁμαρτάνει, οὔποτ' ἐρευνᾷ
Νικαγόρας ἀπὸ μειρακίου πάντα στίβον εἰδώς,
θηρεύσας σὺν πατρί· κατ' ἄκρον δ' εἶδε φευγούσας
παμπληθεῖς Περσῶν ἀκάτους ἐπὶ νῶτα θαλάττης.
πάντες Ἀθηναῖοι δ' ᾄδουσ' ἐπινίκιον ὕμνον
κηρόθι λυπηροί γ', ἀγαθοὺς ἐπόθουν γὰρ ἑταίρους.
Ἐντεῦθεν δὲ κάταντ' ἔδραμεν δολιχοδρόμῳ ἶσος,
πολλάκις ὃς στάδιον διαθεῖ Κρονίωνος ἐν ἄλσει
πατρίδ' ὁμοῦ τ' αὔξων τιμαῖς καὶ Ζῆνα σεβίζων,
οὔ τοι νωθρότερος τούτου Μαραθωνοδρόμος θεῖ
Πεντελικοῦ κατ' ὀρῶν ἐλαφρῶς πτάμενος πεδίονδε·
γηθοσύνῳ ῥ' ἐφάνη πόλις ἄκρα τηλόθ' Ἀθηνῶν,
λευκὴ δ' αἰθερία τ' ἀτμὸν δείλης διέλαμψεν
καυσώδους· «ὦ χαῖρε, φιλτάτη· οὐ σέγ' ἐθάρσουν
νικήσας νίκης πρωτάγγελος ὧδ' ἔτι βλέψειν.»

***

Μελπομένη, σὺ γὰρ ἀνθρώπων ἀρετήν τε καὶ οἶτον
τοῖς ἐπιγιγνομένοις σώζεις, ὅπασόν μοι ἀνειπεῖν,
πῶς ἦγον τόδ' Ἀθηναῖοι Μαραθώνιον ἦμαρ.
μητέρες, ἃς υἱεῖς ἔλιπον, καὶ παρθένοι ἐσθλαὶ
ἐλπόμεναι τ' ἀπόρως οἴκων δέσποιναι ἀνάνδρων
γρᾶές τ' αἰδοῖαι πολυφρόντιδες εὐθὺς ἀπ' ὄρθρου
ἀμβαίνουσι πανηγύρεως τρόπον εἰς πόλιν ἄκραν
οὐχ ὑπὸ κήρυκος κληταί, κοινῇ δὲ μερίμνῃ,
Παλλάδ' Ἀθηναίαν λιτανεύουσαι πολιοῦχον.
πᾶς γὰρ ὃς ἄλκιμός ἐστιν ἀφώρμηκεν δεκαταῖος
εἰς πόλεμον· κύκλῳ δ' ἄυπνοι φρουροῦσι γέροντες
τείχη καὶ λιμένας. Τιμάνδρα δ' ἐκτὸς ὁμίλου
ἕζεται ἐν βαθμῷ βαρυδαίμων, ἀγχόθι δ' αὐτῆς
κηδόσυνος μήτηρ καὶ πιστοτάτη θεραπαινῶν.
πολλὰ κατηύχετ' Ἀθηναίᾳ λείβουσ' ἐπὶ βωμῷ
νικῆσαι μὲν Ἀθηναίους, σῶν δ' οἴκαδ' ἱκέσθαι
Νικαγόραν, σωτῆρι' ὑποσχομένη καταθύσειν.
οὐ ῥ' οἶδ' ἄνδρα φίλον Μαραθωνομάχων ὅτι μοῦνος

τρεῖς ὥρας ἤδη διέθει τὴν Ἀτθίδα χώραν
ἀκροπόλει τε πελᾷ νίκην τ᾽ εὐαγγελιεῖται.

***

Κηφισοῦ δὲ κατῆλθ᾽ ὁ δρομεὺς λειμῶνας ἐραννούς.
ἡσυχίας τε καὶ εἰρήνης καὶ ὀπωρινοῦ ὄλβου
πάντα γέμει. παῖδες χλωροῖς παίζουσ᾽ ὑπὸ θάμνοις
εὐφρόσυνοι· γηθεῖτ᾽, ὦ παιδία, μή τι φοβεῖσθε.
ποίμνια, ποιμαίνεσθ᾽ ἀφόβως, φροῦδος γὰρ ὁ Πέρσης.
οὐ καύσει πόλεμος χρυσῆν Δηοῦς χάριν ἁγνῆς
οὐδ᾽ αὖ Παλλάδος ἄλση ἐλαιῶν ἀργυροειδῶν.
βαρβάρῳ οὐ στεφανοῦσιν Ἐλευθερέως Διονύσου
ἄμπελοι οἰνοφόροι κλιτῦς, ἀλλ᾽ οἰνοτρυγᾶτε,
δρέψατε καὶ γλυκύμηλα, κόραι, βρίθουσι γὰρ ὄζοι.
χαῖρε, θεόσπορος Ἀτθίς, ἀπόρθητόν σ᾽ ἐφύλαξαν
Παλλὰς Ἀθηναία καὶ Ζεύς, ἵνα μὴ διαλύσαι
βάρβαρος Ἑλλάδος Ἑλλάδ᾽, ἐλευθερίας ἐχύρωμα.

***

πῶς δ᾽ ἔπαθες φρεσί, Νικαγόρα, δι᾽ ἀκήρατον ὄλβον
σπερχθείς ; ἆρ᾽ ἐνόεις, πολύμοχθε, θεόσπορον ὄλβον ;
ἔνθ᾽ ἐκάλει σφ᾽ ἐπιόντα γέρων κηπεύς τις Ἀχαρνεὺς
ὄχνῃ ὑπὸ σκιερᾷ, ῥάβδον τρομικῇ χέρ᾽ ἀναίρων.
πολλὰ ποθεῖ δὲ πυθέσθαι, ἐπεὶ δεκάτην ἐπορεύθη
υἱὸς μονογενὴς αὐτῷ Μαραθῶνι μάχεσθαι.
ἄφθογγον δ᾽ ἀνένευσε δρομεὺς — οὐ φθήσεται οὐδεὶς
Τιμάνδραν τι μαθὼν — κραιπνῶς τε παρῆλθε πόλινδε
εὐθυπορῶν, οὐδ᾽ αἰσθόμενος ῥυθμὸν μονόφωνον
βήματος ἐνδελεχοῦς ἰδίου· μόνος εἷς ἀκολουθεῖ
οὔποτ᾽ ἀφιστάμενος δρομέως, αἴθων Ὑπερίων,
οὐκ ἀλέγων ἀνδρὸς μόχθων — εἴθ᾽ ὤφελε δῦναι!
Κεκμηκὼς δίψῃ τε τακεὶς οἰκεῖα ῥέεθρα
Κηφισοῦ καθορᾷ παρ᾽ ἀγυιὰν λισσόμενός τε
εὐδώρῳ νύμφῃ τάδ᾽ ἐπηύξατο· «ναιὰς ἁγνή,
εἴ ποτέ σοι πρόφρων ἔθυον μέλι καὶ γάλα λευκόν,
ἔξελέ μοι κάματον μιαρὸν καὶ δός μ᾽ ἀνέχεσθαι,
ἔνσταξον δ᾽ ἰσχὺν νεαρὰν κατατρυχωθέντι,
οἵᾳ ἐφωρμήθην Πέρσαις πόδας ὠκὺς ὁπλίτης,
δός τ᾽ ἄστει νίκην με φέρειν, αὐθαίρετον ἔργον.»
ὣς φάμενος κύπτει ταχέως καὶ ἀφύσσεται ὕδωρ.
ἄλλο δ᾽ ἐβούλετ᾽ ἀνὴρ ἄλλως τε κατήνυσ᾽ Ἀθηνᾶ —
οὐ γὰρ ἔχει Ζηνὸς θυγάτηρ ὀλιγωρήσασα

Νικαγόρου καὶ Τιμάνδρας, ἀγαπᾷ δὲ συνάμφω
ὄντε καλώ τ' ἀγαθώ τ' — ἰδίαν δ' οἷ ἐμήσατο μοῖραν,
ὡς Μαραθωνοδρόμῳ κλέος ἀέναόν τε γένοιτο
ἀνδράσιν ἐν πᾶσιν χρηστοῖς καὶ ζῆλος ἄπαυστος
αἰὲν ἀριστεύειν περὶ πατρίδος ἶσον ἐκείνῳ.

***

πένθ' ὥρας μάλα καυσώδεις ἐπέρανεν ὁδίτης,
ἡνίκ' ἐς ἵππιον ἧκε κολωνὸν πολλὰ μογήσας,
ἀσθμαίνων πνίγει μαλερῷ πλευράς τε καταλγῶν,
αὐχμηρὸν χαίτην ῥυπαρὸς θ' ἱδρῶτι κόνει τε.
ἄλλ' ἔτι νῦν πάμπαν τ' ἀχίτων καὶ ἀσάνδαλος οὕτως,
φαίνεται ἐντίμων γεγονὼς φαύλοις τ' ἀνόμοιος
οὐδ' ἀφιεὶς πάντως ἀνύτειν αὐθαίρετον ἔργον.
Σεμνάς δ' οὐκ ἔφθη παριὼν χῶρόν τ' ἀπέλαστον
καὶ τότ' Ἀθηναία ῥώμην οἷ ἀφείλατο γυίων,
ὡς σκοτοδινήσανθ' ἃ πέπονθεν δεύτερα πάσχειν.
πᾶν πεδίον πλῆρες Μήδων, πέλαγος μυρμήκων,
μυριάδων, σιγῇ δ' ἑστᾶσι πολῖται Ἀθηνῶν.
Μιλτιάδης αἴρει λόγχην. σάλπιγγος αὐτῇ
πᾶσα φάλαγξ χωρεῖ πεδίονδ', ἵνα σῖγα μένωσιν
μυρίοι ἐν πεδίῳ Μῆδοι. κλύεται Πολέμαρχος·
«νῦν καιρός. λόγχας προβάλεσθ'· ἐπιθώμεθ', ὁπλῖται.»
θεῖ σύμπασα φάλαγξ. ἐξαίφνης εἰσέπεσεν νύξ·
μυρία δαιμονίῳ ψαλμῷ ῥοιζοῦσι βέλεμνα,
ἐνσκήπτει δὲ νέφους ἔκρηγμα, χάλαζα σιδήρων,
δαιμονίως σμαραγεῖ θώραξ, κράνος, ἀσπὶς ὀιστοῖς.
ὀκνηρὰ δ' ἔστηκε φάλαγξ — πίπτουσιν ἑταῖροι —
Μιλτιάδης δέ βοᾷ δεινῶς· «θέλεθ' ὧδ' ἀπολέσθαι,
ἄνδρες, βαρβαρικοῖς τόξοις ; μέμνησθε γυναικῶν,
παίδων καὶ γονέων. Μήδου τάχα δοῦλοι ἔσονται.»
ἐκ καινῆς ὁρμῶσι βοῶσι τε «Παλλὰς Ἀθηνᾶ !»
μείζων ἐνσκήπτει δὲ χάλαζ', ἐπίθεσθ' ἔτι θᾶττον !
ἐγγύτατοι Μῆδοι. κράζει τις «σπᾶσθε μαχαίρας !»
εἰσβάλλουσιν Ἀθηναῖοι γυμνοῖς τε μάχονται
ἀντιπάλῳ ξίφεσιν θρασέως. θνήσκει πολέμαρχος
Καλλίμαχος πληγεὶς αἰχμῇ. Μῆδοι δὲ τρέπονται
προτροπάδην φεύγουσι. «Τί μέλλετε ; πάντ' ἀνύσωμεν —»
ἆρ' ἐβόησ' ὅδε Μιλτιάδης ; ἀνεγείρεται ἄφνω
Νικαγόρας ὡς ἐξ ὕπνου γεγονώς τ' ἐν ἑαυτῷ
οἷα μυωπισθεὶς φέρεται δ' ἔρημον ἀγυιάν.
ἦδ' ἐστ' ἀκρόπολις — φρουρὰν παρορῶν τε γερόντων —

μή, μή, φίλτατε Νικαγόρα, τρέχ' ἄνω πόλιν ἄκραν,
ἄγχιστ' εἶ θανάτου — τὸ τελευταῖον δ' ὑπεράνδρως
συντείνει σπερχθεὶς πύργου προπύλων ἀφικέσθαι
χερσί τ' ἐρειδόμενος πετρώδη κλίμακ' ἀνέρπει —
φεῦ, ῥᾷον γ' ἀνέβης τότ' ἐφ' ἵππου, Δούριος υἱέ,
εὖτέ σ' ἐπῆλθεν ἔρως κούρης γενναῖον ἰούσης —
ἐξαπίνης δὲ μέγας πυμάτῳ βάθρῳ τερατωπὸς
ἐξανθεῖ τὴν χεῖρ' ὀρέγει τε καὶ ὄρθια φωνῶν
«ΝΙΚΩΜΕΝ» πίπτει θνήσκων ὡς δρῦς καταπίπτει
Λαυρίου ἐν κορυφαῖς Διόθεν βληθεῖσα κεραυνῷ.
ψυχὴ δ' ἥρωος λείπει κάλλος τε καὶ ἥβην
πρὸς τ' ἄλλας πέτεται ψυχὰς Μαραθῶνι θανόντων.
ἡ δ' ἔστηκεν ἄφωνος ἅπασ' ἔξωθεν ἑαυτῆς
Τιμάνδρα τὼ χεῖρ' οὕτως ἐπὶ κόλπῳ ἔχουσα.
μὴ σύγ' ἄγαν, οἰκτρά, γαμέτην κλαύσης, ἀγαθοῦ γὰρ
τέξει παῖδ' ἀγαθόν, καὶ ἐλεύθεραί εἰσιν Ἀθῆναι.